GX138

# NATIONAL UNIVERSITY OF IRELAND, GALWAY

## SUMMER EXAMINATIONS, 2002

## Beginners' Greek

## GK 102; GK 103; GK 104

## Paper 1

EXAMINERS: Professor Gerard O'Daly
Professor Brian Arkins
Dr. Ann Mohr

Time allowed: **3** hours

**All** questions to be answered

1. Translate

*(Στρεψιάδης κόπτει τὴν θύραν καὶ βοᾷ)*
ΣΤΡΕΨ. παῖ, παιδίον.
ΜΑΘΗΤΗΣ *(comes out of the* phrontisterion)
βάλλ' εἰς κόρακας. τίς ἔκοψε τὴν θύραν; τίς ἐβόησεν;
ΣΤΡΕΨ. ἔγωγε ἔκοψα τὴν θύραν καὶ ἐβόησα.
ΜΑΘ. τίς ὢν σὺ τοῦτο ἐποίησας; ἀμαθής τις, εὖ οἶδα.
ΣΤΡΕΨ. Στρεψιάδης Κικυννόθεν.
ΜΑΘ. εἰς κόρακας αὖθις.
*(goes back into the* phrontisterion*)*
ΣΤΡΕΨ. οἴμοι, τί ποιήσω; ἀλλ' αὖθις κόψω.
*(αὖθις κόπτει τὴν θύραν)*
ΜΑΘ. τίς ὁ κόπτων; διὰ τί οὗτος οὐκ ἐπαύσατο κόπτων ὁ ἄνθρωπος, ἐπεὶ ἐκέλευσα ἐγώ;
*(re-appears, annoyed)*
διὰ τί σὺ πάλιν κόπτεις; τί ἐν νῷ ἔχεις; τὴν γὰρ ἐμὴν φροντίδα ἀπ-έκοψας, ποιῶν τοῦτο.
ΣΤΡΕΨ. ἀλλ' ἄρτι ἐπαυσάμην, ὦ 'γαθέ. ἐκέλευσας γὰρ σύ. μὴ οὖν ἔκβαλλέ με, καίπερ ἄγροικον ὄντα καὶ ἀμαθῆ. ἀλλὰ τίς ἡ φροντίς, εἰπὲ δή.
ΜΑΘ. ἀλλ' οὐ θέμις. μόνοι γὰρ μανθάνουσι τὰς τῶν σοφιστῶν φροντίδας ταύτας οἱ μαθηταί.
ΣΤΡΕΨ. εἰπέ μοι οὖν. ἥκω γὰρ ἐγὼ μαθητὴς τῶν σοφιστῶν εἰς τὸ φροντιστήριον.
ΜΑΘ. λέξω σοι· ψύλλα γάρ τις δάκνει τὴν Χαιρεφῶντος ὀφρῦν. ὅτε δὲ πηδᾷ ἐπὶ τὴν κεφαλὴν τὴν Σωκράτους, οὕτω διαλέγονται οἱ ἄνδρες.

ΣΩΚΡΑΤΗΣ ὅρα, ὦ Χαιρέφων. οὐ γὰρ λανθάνει με ἡ ψύλλα ἀξία οὖσα τοῦ Ὀλυμπίκου στεφάνου. ἀλλὰ λέγε, ὁπόσους τοὺς ἑαυτῆς πόδας ἐπήδησεν ἡ ψύλλα.
ΧΑΙΡΕΦΩΝ οὐκ οἶδα, ὦ Σώκρατες. ἀλλὰ διὰ τί οὐ μετροῦμεν τὸ χωρίον;
ΣΩΚ. ἀλλὰ πῶς μετρήσομεν, ὦ Χαιρέφων;
ΧΑΙ. ἰδού. πρῶτον μὲν γὰρ κηρὸν λαμβάνω, εἶτα τὸν κηρὸν θερμὸν ποιῶ. τέλος δὲ τοὺς τῆς ψύλλης πόδας εἰς τὸν κηρὸν τίθημι.
ΣΩΚ. τί δέ;
ΧΑΙ. νῦν ὁ κηρὸς ψυχρὸς γίγνεται. ἰδού, ὦ Σώκρατες. ἡ γὰρ ψύλλα ἐμβάδας ἔχει.
ΣΩΚ. ἀλλὰ τί νῦν ποιεῖς;
ΧΑΙ. νῦν δὲ τὰς ἐμβάδας λύω. ἰδού.
ΣΤΡΕΨ. ὦ Ζεῦ βασιλεῦ. ὦ τῆς σοφίας τῶν ἀνδρῶν.

2. Translate

ἐγὼ δέ, ἐπεὶ ἤκουσα, ἐλογιζόμην οὑτωσὶ πρὸς ἐμαυτόν· 'τί ποτε βούλεται λέγειν ὁ θεός; ἐγὼ γὰρ δὴ οἶδα ὅτι σοφὸς οὐκ εἰμί. τί οὖν ποτε λέγει ὁ θεός, λέγων ὡς ἐγὼ σοφώτατός εἰμι, καὶ ὡς οὐδεὶς σοφώτερος; οὐ γὰρ δήπου ψεύδεταί γε· οὐ γὰρ θέμις αὐτῷ. ἀνάγκη γάρ ἐστι τὸν θεὸν οὐδὲν ἄλλο ἢ τὴν ἀλήθειαν λέγειν.' καὶ πολὺν μὲν χρόνον ἠπόρουν τί ποτε λέγει, ἔπειτα δὲ ἐπὶ ζήτησιν ἐτραπόμην πότερον ἀληθῆ λέγει ὁ θεός, ἢ οὔ. οὐ γὰρ ἐβουλόμην ἐν ἀπορίᾳ εἶναι περὶ τὸ μαντεῖον.

ἦλθον οὖν ἐπὶ σοφόν τινα (ἐδόκει γοῦν σοφὸς εἶναι). ἐβουλόμην γὰρ ἐλέγχειν τὸ μαντεῖον καὶ ἀποφαίνειν ὅτι 'σὺ μέν, ὦ Ἄπολλον, ἔλεγες ὅτι ἐγὼ σοφώτατος, οὗτος δὲ σοφώτερός ἐστιν.' διελεγόμην οὖν ἐγὼ πρὸς τοῦτον τὸν σοφόν, πολιτικόν τινα ὄντα. ὁ δ' ἀνήρ, ὡς ἐγὼ ᾤμην, ἔδοξέ γε σοφὸς εἶναι, οὐκ ὤν. καὶ ἐπειδὴ ἐπειρώμην ἀποφαίνειν αὐτὸν δοκοῦντα σοφὸν εἶναι, οὐκ ὄντα, οὗτος καὶ πολλοὶ τῶν παρόντων ἐμίσουν με. πρὸς ἐμαυτὸν οὖν οὕτως ἐλογιζόμην, ὅτι 'ἐγὼ σοφώτερός εἰμι ἢ οὗτος. οὗτος μὲν γὰρ δοκεῖ τι εἰδέναι, οὐδὲν εἰδώς, ἐγὼ δέ, οὐδὲν εἰδώς, οὐδὲ δοκῶ εἰδέναι.' ἐντεῦθεν ἐπ' ἄλλον τινὰ σοφὸν ᾖα, καὶ ἐδόκει καὶ ἐκεῖνός τι εἰδέναι, οὐκ εἰδώς. ἐντεῦθεν δὲ καὶ ἐκεῖνος καὶ ἄλλοι τῶν παρόντων ἐμίσουν με.

μετὰ ταῦτα οὖν ᾖα ἐπὶ τοὺς ἄλλους τοὺς δοκοῦντάς τι εἰδέναι. καὶ νὴ τὸν κύνα, οἱ μὲν δοκοῦντές τι εἰδέναι ἦσαν μωρότεροι, ὡς ἐγὼ ᾤμην, οἱ δ' οὐδὲν δοκοῦντες εἰδέναι σοφώτεροι. μετὰ γὰρ τοὺς πολιτικοὺς ᾖα ἐπὶ τοὺς ποιητάς.

3. Translate

ΑΠ. ἐπιεικὴς δὴ καὶ μέτριος ἐγένου περὶ ὧν ἐπεποιήκει ὁ Θεόφημος, ὦ Ἀρίσταρχε. ἀλλὰ τί οὐ παυόμεθα περιπατοῦντες; πνῖγος γὰρ γίγνεται νῦν, καὶ ἐὰν πλέον περιπατήσω, εἰς πολλὴν ἀπορίαν καταστήσομαι. παυώμεθα οὖν, ἕως ἂν ἐκ τῆς ἀσθενείας συλλέγω ἐμαυτόν.

ΑΡ. οὕτως οὖν ποιητέον, εἴ σοι δοκεῖ. παυώμεθα οὖν καὶ ἐν ἡσυχίᾳ καθιζώμεθα παρὰ τὸν Ἰλισόν, ἕως ἂν ἠπιώτερον γένηται τὸ πνῖγος.

ΑΠ. πρόαγε δή, καὶ σκοπῶμεν ἅμα ὅπου καθιζησόμεθα.

ΑΡ. ὁρᾷς οὖν ἐκείνην τὴν ὑψηλοτάτην πλάτανον;

ΑΠ. τί μήν;

ΑΡ. ἐκεῖ σκιά τ' ἐστὶ καὶ πνεῦμα μέτριον καὶ πόα καθίζεσθαι, ἐὰν βουλώμεθα. ἐκεῖσε οὖν ἴωμεν, ἵνα καθιζώμεθα ἀναπαυόμενοι.

ΑΠ. προάγοις ἄν. νὴ τὴν Ἥραν, καλή γε ἡ καταγωγή. νῦν οὖν δεῦρο ἀφικόμενοι μένωμεν ἕως ἂν ἐκ τῆς ἀσθενείας συλλέγω ἐμαυτόν.

ἀλλὰ σύ, ὦ Ἀρίσταρχε, ὡς ἔφης, ἐνίκησας τὴν εἰσαγγελίαν. τί οὖν τὰ μετὰ ταῦτα; πῶς πρὸς σὲ διέκειτο ὁ Θεόφημος; κακῶς, ἔμοιγε δοκεῖ τεκμαιρομένῳ τῇ σῇ ἀθυμίᾳ. τί οὖν οὐ διατελεῖς τὸν λόγον διηγούμενος, εἰ μή τί σε κωλύει; ὡς μοι δοκῶ καθέξειν σε ἐνθάδε ἕως ἂν εἴπῃς ἅπαντα.

ΑΡ. ἀλλὰ μὴν οὐδέν γε κωλύει με διατελεῖν διεξιόντα τὸν λόγον, ἕως ἂν λεχθῇ ἅπαντα. ἄκουε οὖν, ἵνα σαφέστερον μάθῃς.

4. Translate

ΧΟΡΟΣ ἴστω νυν εὐκλεής γε κατθανουμένη
γυνή τ' ἀρίστη τῶν ὑφ' ἡλίῳ μακρῷ.
ΘΕΡΑΠΑΙΝΑ πῶς δ' οὐκ ἀρίστη; τίς δ' ἐναντιώσεται;
τί χρὴ γενέσθαι τὴν ὑπερβεβλημένην
γυναῖκα; πῶς δ' ἂν μᾶλλον ἐνδείξαιτό τις
πόσιν προτιμῶσ' ἢ θέλουσ' ὑπερθανεῖν;
καὶ ταῦτα μὲν δὴ πᾶσ' ἐπίσταται πόλις·
ἃ δ' ἐν δόμοις ἔδρασε θαυμάσῃ κλύων.
ἐπεὶ γὰρ ᾔσθεθ' ἡμέραν τὴν κυρίαν
ἥκουσαν, ὕδασι ποταμίοις λευκὸν χρόα
ἐλούσατ', ἐκ⌈ δ' ⌉ἑλοῦσα κεδρίνων δόμων
ἐσθῆτα κόσμον τ' εὐπρεπῶς ἠσκήσατο,
καὶ στᾶσα πρόσθεν Ἑστίας κατηύξατο·
'δέσποιν', ἐγὼ γὰρ ἔρχομαι κατὰ χθονός,
πανύστατόν σε προσπίτνουσ' αἰτήσομαι,
τέκν' ὀρφανεῦσαι τἀμά· καὶ τῷ μὲν φίλην
σύζευξον ἄλοχον, τῇ δὲ γενναῖον πόσιν.
μηδ' (ὥσπερ αὐτῶν ἡ τεκοῦσ' ἀπόλλυμαι)
θανεῖν ἀώρους παῖδας, ἀλλ' εὐδαίμονας
ἐν γῇ πατρῴᾳ τερπνὸν ἐκπλῆσαι βίον.'